**---71---**

[1] Δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες Κερκυραίους

εἶπον

- ὅτι καὶ ταῦτα βέλτιστα εἴη καὶ ἥκιστ᾽ ἂν δουλωθεῖεν ὑπ᾽ Ἀθηναίων,
- δέχεσθαι τό τε λοιπὸν μηδετέρους ἀλλ᾽ ἢ μιᾷ νηὶ ἡσυχάζοντας,
- ἡγεῖσθαι τὸ δὲ πλέον πολέμιον.

Ὡς δὲ εἶπον, ἠνάγκασαν καὶ ἐπικυρῶσαι τὴν γνώμην.

[2] Πέμπουσι δὲ πρέσβεις καὶ ἐς τὰς Ἀθήνας εὐθὺς περί τε τῶν πεπραγμένων

- διδάξοντας ὡς ξυνέφερε
- καὶ πείσοντας τοὺς ἐκεῖ καταπεφευγότας πράσσειν μηδὲν ἀνεπιτήδειον ,

ὅπως μή τις ἐπιστροφὴ γένηται.

**---72---**

[1] Ἐλθόντων δὲ οἱ Ἀθηναῖοι ξυλλαβόντες τούς τε πρέσβεις ὡς νεωτερίζοντας , καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν.

[2] Ἐν δὲ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα

ἐπιτίθενται τῷ δήμῳ ἐλθούσης τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων,

καὶ μαχόμενοι ἐνίκησαν.

[3] Ἀφικομένης δὲ νυκτὸς ὁ μὲν δῆμος καταφεύγει ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καὶ ἱδρύθη αὐτοῦ ξυλλεγείς , καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον·

οἱ δὲ τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ
τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον.

**---73---**

[1] Τῇ δ᾽ ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα καὶ ἀμφότεροι περιέπεμπον ἐς τοὺς

ἀγροὺς , παρακαλοῦντές τοὺς δούλους τε καὶ ὑπισχνούμενοι ἐλευθερίαν ·

καὶ τὸ πλῆθος τῶν οἰκετῶν παρεγένετο ξύμμαχον τῷ μὲν δήμῳ ,

τοῖς δ᾽ ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.